ἐπιδεῖν τὰς γυναῖκας αὐτῶν καὶ τοὺς παῖδας εἰς ἀνδραποδισμὸν γιγνομένας (VIII, 161,16-18).

[*ΟΠΩΣ ΔΙΑ ΣΠΟΥΔΗΣ ΕΙΧΕΝ Ο ΒΑΣΙΛΕΥΣ ΤΟ ΤΗΝ ΠΟΛΙΝ ΕΛΕΙΝ ΚΑΙ ΟΠΩΣ ΤΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΕΙΛΕΝ*]

Λέγεται μὲν οὖν καὶ τόδε. ὡς τὸ τεῖχος ἐπεπτώκει ὑπὸ τῶν τηλεβόλων, ὁ Σκενδέρεω τοῦ Σινώπης ἄρχοντος παῖς, Ἰσμαΐλης τοὔνομα, προσέφερε λόγους τοῖς Ἕλλησι περὶ σπονδῶν, λέγων τοιάδε. «ἄνδρες Ἕλληνες, ἐπὶ ξυροῦ ἀκμῆς ὑμῖν, ὡς ὁρᾶτε, τὰ πράγματα ἕστηκε. τί οὐ πρέσβυν πέμπετε ὡς βασιλέα περὶ εἰρήνης; ἢν γὰρ ἐμοὶ ἐθέλητε ἐπιτρέψαι, διαπράξομαι ὑμῖν σπονδὰς γενέσθαι παρὰ βασιλέως, καὶ τὴν χάριν οὖν εὖ οἶδ' ὅτι καταθήσεσθε τῷ διαπραξαμένῳ ὑμῖν. ἢν δὲ μὴ τοῦτο γένηται ὑμῖν, ἡ πόλις ἐξανδραποδιοῦνται, καὶ ὑμᾶς πασσυδὶ βασιλεὺς διαφθερεῖ, καὶ γυναῖκας καὶ παῖδας ὑμῶν ἐξανδραποδιούμεθα, καὶ συμφορᾷ κατασχεθήσεσθε ἀνηκέστῳ. ἀλλὰ πέμπετε ὡς τάχιστα ἄνδρα, ὃν ἂν ἐπὶ τὰς βασιλέως θύρας ἀγαγὼν ἐγὼ διαπράξομαι ὑμῖν τὴν εἰρήνην.» ταῦτα ἔλεγε τοῖς Ἕλλησι βουλευομένοις. ἐδόκει δὲ πεμπτέα εἶναι ἄγγελον, ὅστις ἂν πύθηται τῆς βασιλέως γνώμης περὶ σφᾶς, ἧς ἐστι, καὶ οὕτω βουλεύσονται περὶ τοῦ συνοίσοντος σφίσιν, ὅ τι εἴη ἄμεινον πειρωμένοις. ἔπεμπον δὲ ἄνδρα οὐκ ἐπίσημον ὡς ἀποπειρασόμενον τῆς βασιλέως γνώμης. ἐπεὶ δ' ἀφίκετο ἐς τὰς θύρας οὗτος ἡγουμένου Ἰσμαήλεω, ἐκέλευε βασιλεὺς δέκα τελεῖν αὐτῷ μυριάδας τοῦ ἐνιαυτοῦ· εἰ δὲ μὴ τοῦτο οἷοί τε ὦσι ποιεῖσθαι, οἴχεσθαι ἀπολιπόντας τὴν πόλιν, ἀποφερομένους τὰ σφέτερα αὐτῶν, ἕκαστος ὅποι ἂν βούλοιτο ἀπελθεῖν· ταῦτα ὡς ἀνηνέχθη ἐς τοὺς Ἕλληνας, ἐβουλεύοντο μὲν καὶ ἐδόκει ἀμύνεσθαι ἀνακινδυνεύοντας μᾶλλον ἢ οὕτω ἀμαχητὶ ἐκλιπόντας τὴν πόλιν οἴχεσθαι ἀποπλέοντας. ἐμοὶ μὲν οὖν δοκεῖ βασιλέα ταῦτα προτεῖναι ἀποπειρώμενον τῆς Ἑλλήνων γνώμης. καὶ τὰ ὀρύγματα μᾶλλον αὐτῶν ἄπρακτα γενόμενα ἐπῆρε διαπειρᾶσθαι, ὅ τι γινώσκοιεν περὶ σφῶν οἱ Ἕλληνες, εἴτε ἐχυρὰ εἴη αὐτοῖς τὰ πράγματα.

Οἱ μὲν οὖν Ἕλληνες ἐς τοσοῦτον ἐξεφέροντο, ἐς ὅσον μοι δεδήλωται· βασιλεὺς δέ, ὡς αὐτῷ τὰ ἐς τὴν προσβολὴν παρεσκεύαστο, συγκαλέσας τοὺς νεήλυδας

ἔλεγε τοιάδε. «ἄνδρες νεήλυδες καὶ ἐμοὶ παῖδες, τὰ κάλλιστα ἀεί, ὅποι ἂν στρατεύωμαι, ἀριστεύοντες, ἐφ' ὑμῖν ἤδη ἐστὶν ἁλῶναι τήνδε τὴν πόλιν. ἴστε δὲ καὶ τόδε. ὁπότε ἐπειρώμην ὑμᾶς, ἐφάσκετε ἁλώσιμον εἶναι τὴν πόλιν, εἰ μόνον τὰ τείχη ὑμῖν καταβάλλοιμι. περιάγων δὲ ὑμᾶς ἐπηρόμην, εἰ ἱκανῶς καταβέβληται ἤδη τοῦ τείχους· καὶ ἐς ὅσον ὑμῖν ἱκανῶς ἔχειν ἔδοξε, κατεβάλλετο. νῦν δὲ ἐπειδὴ ὥρα ἐστὶ τὴν προσβολὴν ποιεῖσθαι, τάδε προτίθεμαι. ὑμεῖς ἁπανταχῇ δόξαν παρὰ τοῖς προγόνοις καὶ ἐμοὶ εὐκλεῆ ἀνελόμενοι συγκατεργάζεσθε τὴν βασιλείαν ἐμοί. ἴστε δὴ οὖν. ὅσαι ὑπαρχίαι ἔν τε τῇ Ἀσίᾳ καὶ ἐν τῇ Εὐρώπῃ τυγχάνουσιν ὄντα, τούτων τὴν βελτίω δώσω τῷ πρώτῳ ἀναβάντι ἐπὶ τὸ διάφραγμα. τιμήσω δὲ τοῦτον, οἷα εἰκός, καὶ ἀμείψομαι, ἀρχὴν παρεχόμενος εὐδαίμονα, καὶ ἀποδείξω μακαριζόμενον ὑπὸ τῶν τοῦ ἡμετέρου γένους ἀνθρώπων. ὃν δ' ἂν αἴσθωμαι ἐν σκηναῖς ἀναστρεφόμενον καὶ μὴ μαχόμενον ἐς τὸ τεῖχος, οὐδ' ἂν εἰ πετόμενος κατὰ τὰ πτηνὰ ἀποδραίη, ἱκανῶς ἔσται αὐτῷ ἀποφυγεῖν, μὴ τὰ ἔσχατα παθόντι ἀποθανεῖν. ἴτε δὴ οὖν ἐπὶ τὸν ἀγῶνα τοῦτον, κάλλιστόν τε καὶ ὀλβιώτατον· ἀνδράποδά τε γὰρ ἔσται ὑμῖν πολλοῦ ἄξια καὶ γυναῖκες καὶ παῖδες, καὶ πλοῦτος ἐν τῇ πόλει πολύς.» ταῦτα εἰπόντι τῷ βασιλεῖ οἱ δεκαδάρχαι καὶ λοχαγοί, οἳ καὶ πρότερον, ὡς ἐπεδείκνυ τὸ τεῖχος αὐτοῖς ὁ βασιλεὺς περιάγων, εἰ ἱκανῶς ἔχει ἐσπεσεῖσθαι ἔσω ἐς τὴν πόλιν, [καὶ] ἐκέλευον καταβάλλειν, ἐς ὃ ἐδόκει αὐτοῖς ἱκανῶς ἔχειν, καὶ τότε δὴ θαρρεῖν τε αὐτὸν ἐκέλευον, ὡς ἐς τὴν πόλιν ἀμεταστρεπτὶ ἐσπεσοῦνται, ᾐτοῦντο δ' αὐτὸν χάριν θέσθαι σφίσι τοὺς ἄνδρας, οὓς συνέλαβε διὰ τὸν ναύαρχον, ὅτι ἐν ὑπόπτῳ ἦσαν, ὡς ἔτρωσαν αὐτὸν ἐς τὸν ὀφθαλμόν, χαρίσαιτο αὐτοῖς. ὁ δὲ ἐπείθετο καὶ ἀπέλυσε τοὺς ἄνδρας, χαρισάμενος τοῖς νεήλυσι.

Μετὰ δὲ ταῦτα, ὡς ἐδόκει αὐτῷ προσβαλεῖν, ἔπεμπεν ἐς τὸ στρατόπεδον περιαγγέλλων, ὡς ἕωθεν ἔσοιτο ἡ προσβολή, καὶ προηγόρευε δῶρα τῷ ἀριστεύοντι· τῷ μὴ μαχομένῳ δὲ θάνατος ἐπέκειτο ζημία. καὶ ζύχιδες δὴ ἐς τὰ στρατόπεδα περιιόντες ὑπεμίμνησκον τὴν νενομισμένην σφίσι τῇ τελευτῇ δόξαν, ὡς τοῖς τε μαχομένοις ὁ ἥρως ἐπαγγέλλεται εὐδαιμονίαν τοῖς τετελευτηκόσι, καὶ ἄλλα, οἷα δὴ νομίζεται παρ' αὐτοῖς. οἱ μὲν οὖν Ἕλληνες ἄνδρα Ἰανύϊον ἀφικόμενον ἐς τιμωρίαν σφίσι σὺν νηΐ τε μεγίστῃ καὶ ὁπλίταις ὡς τριακοσίοις, ἐκέλευον ταύτῃ ἑστηκότα, ᾗ βασιλεὺς καὶ οἱ νεήλυδες ἔμελλον ἐπεισπεσόντες βιάζεσθαι, ὡς ἐνταῦθα σὺν τοῖς ὁπλίταις αὐτοῦ παρασκευάζοιτο ἀμύνεσθαι. καὶ αὐτός τε ἅμα βασιλεὺς Ἑλλήνων οὐ πολλῷ διίστατο σὺν τοῖς ἀμφ' αὐτόν, ὥστε

ἐπαμύνειν. καὶ καρδινάλιος ὁ Ἰσίδωρος Σαρματίας, οὗ πρότερον ἐμνήσθην, παρὼν τότε τοῖς Ἕλλησιν ἐτιμώρει πολεμουμένοις· παρεγένετο γὰρ ὡς ξύνοδόν τε ποιησόμενος καὶ διαλλάξων τοὺς Ἕλληνας τῷ Ῥωμαίων ἀρχιερεῖ. ταῦτα μὲν οὖν ὀλίγῳ πρότερον αὐτῷ ἐπεποίητο, καὶ οἱ Ἕλληνες ὀψὲ γοῦν ἐς διαλλαγὴν ἀφίκοντο τοῖς Ῥωμαίοις. βασιλεὺς δέ, ὡς ἐδόκει ὥρα εἶναι προσβάλλειν ἕωθεν, (Ἄρεος δ᾽ ἦν ἡμέρα), τά τε κύμβαλα ἐσημαίνετο, καὶ οἱ αὐληταὶ καὶ οἱ σαλπιγκταὶ ἐσήμαινον, ἕωθεν προσέβαλε, καὶ ἁπανταχῇ τῆς πόλεως καθίσταντο ἐς μάχην οἱ βάρβαροι, καὶ προσβαλόντες ἐμάχοντο ἰσχυρῶς. κατὰ μὲν τὸ ἐς λιμένα τεῖχος ἠμύνοντο οἱ Ἕλληνες κράτιστα, καὶ ἐξεώσαντο τοὺς Τούρκους, καί πη κατὰ <τὰς> κλίμακας ἀναβάντων κεφαλὰς ἀπηνέγκαντο κρατύνοντες τὰ τείχη, ᾗ δ᾽ αὐτὸς προσέβαλε βασιλεύς, οἱ νεήλυδες ἐπεισπεσόντες ἐβιάζοντο τοὺς ὁπλίτας τῶν Ἰανυΐων. καὶ ὁ Λόγγος αὐτὸς τιτρώσκεται τηλεβολίσκῳ ἐς τὴν χεῖρα, καί τινες ἄλλοι τῶν ὁπλιτῶν ἐπετιτρώσκοντο, καὶ ἐκλιπόντες τὴν χώραν, ᾗ ἐστήκεσαν, αὐτίκα βιαζόμενοι εἰσέπιπτον, καὶ τούς τε ὁπλίτας τῶν Ἰανυΐων ἐτρέψαντο καὶ ἐπικείμενοι ἐφόνευον. ὁ μὲν οὖν Λόγγος ἀπεχώρει. εἵποντο αὐτῷ οἱ ὁπλῖται, ἐπιόντων σφίσι τῶν νεηλύδων. καὶ ὁ βασιλεὺς Ἑλλήνων ὡς ᾔσθετο ἐκλιπόντας τὴν χώραν αὐτοὺς καὶ ἐνδιδόντας, ἀνέδραμε μὲν αὐτίκα καὶ ἤρετο τὸν Λόγγον, εἴ ποι πορεύοιτο· τοῦ δ᾽ αὖ φαμένου, ὡς ταύτῃ θεὸς ὑφηγεῖται τοῖς Τούρκοις, αὐτὸς οὖν ὁ βασιλεὺς πρὸς Καντακουζηνὸν καί τινας ὀλίγους ἀμφ᾽ αὐτὸν ὄντας τραπόμενος ἔλεγεν «ἴωμεν, ἄνδρες, ἐπὶ τοὺς βαρβάρους τούσδε.» αὐτός τε ὁ Καντακουζηνὸς ἀνὴρ γενόμενος ἀγαθὸς ἐτελεύτησε. καὶ αὐτὸς ἐτράπετο, καὶ ἐπιόντες καὶ διώκοντες ἔτρωσαν βασιλέα Κωνσταντῖνον ἐς τὸν ὦμον, καὶ ἐτελεύτησεν. οἱ δὲ ἄλλοι Ἑλλήνων, ὡς εἶδον τοὺς νεήλυδας ἐπὶ τὸ μέγα τεῖχος δραμόντας καὶ ἄνωθεν βάλλοντας τοξεύμασί τε καὶ λίθοις, καὶ τοὺς ἀμφὶ τὸν Λόγγον φεύγοντας, ἐπικειμένων τῶν νεηλύδων ἐτράποντο ἐς φυγήν, ἐκτός τις ἕκαστος προκαταβαίνειν βουλόμενος, ὥστε σώζεσθαι. ὡς δὲ ἐς τὴν πύλην ἀφίκοντο τὴν τοῦ Ῥωμανοῦ καλουμένην, κατασχεθέντες ὑπ᾽ ἀλλήλων αὐτοῦ ταύτῃ ἔκειντο, καὶ ἐπιόντες αὖθις ἔπιπτον ἐς αὐτούς, καὶ οὕτως ἐπαναβαίνοντας σπουδῇ ἐπειγομένους διαβαίνειν, σωρὸν μέγιστον ζῶντες κατὰ τὴν πύλην ἐπεποίηντο, ὥστε μηδενὶ βάσιμα εἶναι ἐντεῦθεν. καὶ οὗτοι μὲν οὕτως, ὡς πλεῖστοι ἐν οὐδενὶ λόγῳ ἀπώλοντο, ἐπειγόμενοι φθῆναι ἐς ἀλλήλους, ἔπιπτον ἐς ἐκεῖνο τὸ θέαμα, καὶ τὰς πύλας κεκλεῖσθαι σώμασι περιιόντων ἐπὶ τῶν Ἑλλήνων. οἱ δὲ νεήλυδες ὑπερβάντες τὸ μέγα τεῖχος (κατέρριπτο γάρ τοι καὶ

αὐτοῦ μέγα μέρος ὑπὸ τοῦ τηλεβόλου) εἰσεχέοντο ταύτῃ ἐς τὴν πόλιν καὶ διήρπαζον τὴν πόλιν, τραπόμενοι, ὅποι ἑκάστῳ προχωροίη.

Οἱ δὲ Ἕλληνες πρῶτον μέν, ὡς ἡ φήμη διέδραμεν, ὡς ἑάλω ἡ πόλις, οἱ μὲν φυγῇ ὥρμηντο ἐπὶ τὸν λιμένα ἐς τὰς ναῦς τῶν Οὐενετῶν καὶ Ἰανυΐων, καὶ πολλοὶ ἐς τὰ πλοιάρια ἐσβάλλοντες σπουδῇ καὶ ἀκόσμως ἀπώλοντο καταδυομένων τῶν πλοιαρίων. καὶ ἐγίγνετο, οἷα δὴ γίγνεσθαι εἰώθει ἐν τοῖς τοιούτοις θορύβοις, ἀτάκτως χωρούντων ἑκάστων ἐς τὸ διασώζεσθαι ἐν οὐδενὶ κόσμῳ καὶ οὗτοι μὲν ἔφθησαν ἀποφυγόντες τοὺς Τούρκους· οἱ δὲ πυλωροὶ τῆς πόλεως ἀγνωμοσύνῃ κακοδαίμονι χρησάμενοι, ὡς ἑώρων τοὺς Ἕλληνας ἐπὶ τὰς ναῦς τραπομένους, φυγῇ ὡρμημένους σώζεσθαι ἐς τὰς ναῦς, οἰόμενοι ὡς εἰ ἐπικλείσαιεν [ἐς] τὰς θύρας, ἀναγκασθεῖεν οἱ Ἕλληνες ἐπιστραφέντες ἀμύνεσθαι, καὶ κατά τινα χρησμὸν ᾀδόμενον ἐν τῇ πόλει, ὡς τῶν πολεμίων ἄχρι τοῦ Ταύρου χώρου τῆς πόλεως ἐπιγενομένων καὶ ἐπικειμένων τοὺς ἐν τῇ πόλει συστραφέντας ἀνάγκῃ ἀμυνομένους ἐκβαλεῖν τοὺς πολεμίους καὶ αὐτοὺς ἴσχειν τὴν πόλιν, ἐν ταύτῃ, οἶμαι, τιθέμενοι τῇ δόξῃ τὰς κλεῖς ἄνω ἀπὸ τοῦ τείχους ἔξω ἀπέρριψαν. οἱ δὲ ἄνδρες τε καὶ γυναῖκες, πλῆθος πολὺ γενόμενοι ἐνταῦθα ἐπιρρεόντων αἰεὶ συχνῶν, ἐτράποντο ἐπὶ τοῦ μεγίστου νεὼ τῆς πόλεως, τῆς ἁγίας Σοφίας καλουμένης, καὶ ἐνταῦθα συνελέγοντο ἄνδρες τε καὶ γυναῖκες καὶ παῖδες. οὐ πολλῷ μέντοι ὕστερον ἑάλωσαν ὑπὸ τῶν Τούρκων ἀμαχητί, καὶ ἀνδρῶν οὐκ ὀλίγοι ἐντὸς τοῦ νεὼ διεφθάρησαν ὑπὸ Τούρκων. ἄλλοι δ᾽ αὖ τῶν Ἑλλήνων ἄλλῃ τῆς πόλεως τραπόμενοι ἐν ἀπορίᾳ τε εἴχοντο, καὶ οὐ πολλῷ ὕστερον οἱ μὲν ἀπώλοντο, οἱ δὲ καὶ ἡλίσκοντο. καὶ πολλοὶ τῶν Ἑλλήνων ἄνδρες γενόμενοι ἀγαθοὶ ἐμαχέσαντο καὶ ἀπέθανον πρὸ τῆς πατρίδος, ὥστε μὴ ἐπιδεῖν τὰς γυναῖκας αὐτῶν καὶ τοὺς παῖδας εἰς ἀνδραποδισμὸν γιγνομένας.

[Λαόνικος Χαλκοκονδύλης, *Ἀποδείξεις Ἱστοριῶν*, ἐκδ. E. Darkó, VIII, 155,24-161,18]

Σχόλια

2-3. *προσέφερε λόγους τοῖς Ἕλλησι περὶ σπονδῶν*: Ὁ Χαλκοκονδύλης χρονολογεῖ

τὴν εἰρηνευτικὴ πρόταση πρὸς τὴν ἑλληνικὴ πλευρὰ μετὰ τὸν βομβαρδισμὸ τοῦ τείχους, τὶς παραμονὲς δηλαδὴ τῆς μεγάλης ἐφόδου, ὅπως, ἄλλωστε, καὶ ὁ Δούκας (XXXIX, 1, 349,23-351,13), ἐνῶ ὁ Κριτόβουλος τοποθετεῖ τὸ γεγονὸς στὴν ἀρχὴ τῶν ἐπιχειρήσεων, μετὰ τὴν ἄφιξη τοῦ Ἰουστινιάνη καὶ πρὶν ἀπὸ τὴν παράταξη τοῦ τουρκικοῦ στρατεύματος μπροστὰ ἀπὸ τὰ τείχη τῆς πρωτεύουσας (A 26, 1-2, 41,27-37). Γιὰ τὸν γιὸ τοῦ ἐμίρη τῆς Σινώπης Ἰσμαήλ, βλ. Moravcsik, II, 142.

25-26. *συγκαλέσας τοὺς νεήλυδας ἔλεγε τοιάδε*: Ὁ Κριτόβουλος παραθέτει ἐκτενῶς τὴν δημηγορία τοῦ Μωάμεθ Β', *προτρέπουσα πάντας εἰς τὸ καλῶς ἀγωνίσασθαι καὶ ἅμα παραίνεσιν ἔχουσα* (A 48-51, 60-65).

45-46. *ἠτοῦντο – ναύαρχον*: Ὑπονοεῖται ὁ βουλγαρικῆς καταγωγῆς ναύαρχος τοῦ τουρκικοῦ στόλου Παλτόγλης (Moravcsik, II, 244), ὁ ὁποῖος χτυπήθηκε κατὰ τὴν ναυμαχία στὸ μάτι (Κριτόβουλος, A 41,3, 55,11-18) ἢ κατ' ἄλλην ἐκδοχὴ ἀπὸ κάποιον γενίτσαρο μετὰ ἀπὸ τὴν τιμωρία ποὺ ὑπέστη ἀπὸ τὸν σουλτάνο (Δούκας, XXXVIII, 7, 337,11-13). Ὁ Χαλκοκονδύλης ἀκολουθεῖ προφανῶς τὴν ἐκδοχὴ τοῦ Κριτόβουλου.

51. *ζύχιδες*: Ἀπὸ τὸ ἀραβικὸ žahid, εὐσεβής, μοναχὸς (Moravcsik, II, 132).

54. *ἄνδρα Ἰανύϊον*: Ὑπονοεῖται ὁ γενουάτης (*Ἰανύη* κατὰ τὸν ἱστορικὸ εἶναι ἡ Γένουα, *πύλη οὖσα τῆς Γαλατίας*, II, 80,19) Ἰουστινιάνης ἢ Ἰουστινιανός, Ἰωάννης Λόγγος, ὁ ὁποῖος ἔφθασε μὲ δύο καράβια καὶ τριακοσίους στρατιῶτες ἕνα περίπου μήνα πρὶν ἀπὸ τὴν ἅλωση (*PLP* 8227). Τὸν ἐρχομὸ τοῦ Ἰουστινιάνη μὲ δύο καράβια ἀναφέρει καὶ ὁ Δούκας, δίχως ὅμως νὰ καθορίζει τὸν ἀριθμὸ τῶν στρατιωτῶν του (XXXVIII, 2, 331,1-3), ἐνῶ ὁ Κριτόβουλος γράφει ὅτι μετέφερε τετρακόσιους κατάφρακτους ἄνδρες (A 25, 40,21-22).

59. *Ἰσίδωρος Σαρματίας*: Πρόκειται γιὰ τὸν φιλενωτικὸ μητροπολίτη Κιέβου Ἰσίδωρο καὶ μετὰ τὴν Ἅλωση τιτουλάριο πατριάρχη Κωνσταντινουπόλεως. Τὸ 1452 στάλθηκε μὲ στρατιωτικὴ βοήθεια ἀπὸ τὸν πάπα καὶ στὶς 12 Δεκεμβρίου τοῦ ἰδίου ἔτους κατὰ τὴν ἑορτὴ τοῦ ἁγίου Σπυρίδωνος ἐπικύρωσε παρουσία τοῦ αὐτοκράτορος τὴν ἕνωση τῶν ἐκκλησιῶν στὴν Ἁγία Σοφία, ὅπου τέλεσε καὶ τὴν θεία λειτουργία (*PLP* 8300. J. Gill, *Personalities of the Council of Florence*, Ὀξφόρδη 1964, 65-78).

70. *τιτρώσκεται τηλεβολίσκῳ ἐς τὴν χεῖρα*: Ὁ Κριτόβουλος γράφει ὅτι ὁ Ἰουστινιάνης πληγώθηκε ἀπὸ βέλος στὸ στέρνο (A 58,3), ὁ Δούκας ἀπὸ σφαίρα στὸ χέρι πίσω ἀπὸ τὸν βραχίονα (XXXIX 10, 357,9-10) καὶ ὁ Ψευδο-Σφραντζῆς ἀπὸ βέλος τόξου στὸ σκέλος τοῦ δεξιοῦ του ποδιοῦ (426,10). Ἡ βιαστικὴ ἀποχώρησή του ἀπὸ τὸ πεδίο τῆς μάχης μαζὶ μὲ τοὺς στρατιῶτες του προκάλεσε τὸν πανικὸ καὶ τὴν ἄτακτη φυγὴ τῶν ὑπόλοιπων μαχητῶν μὲ ἀποτέλεσμα τὸ τεῖχος σ' ἐκεῖνο τὸ σημεῖο νὰ μείνει ἀποδυναμωμένο, γεγονὸς ποὺ ἀντιλήφθηκε ὁ σουλτάνος, δίνοντας τὸ σύνθημα τῆς ἐφόδου: «*ἔχομεν*», εἶπεν, «*ὦ φίλοι, τὴν πόλιν, ἔχομεν ἤδη. Φεύγουσιν οἱ ἄνδρες ἡμᾶς. οὐκέτι παραμένειν ἀνέχονται. Γυμνὸν τῶν προμαχομένων τὸ τεῖχος* [...]» (Κριτόβουλος, A 60, 70,8-9). Ὁ Δούκας ἀπηχεῖ μία φίλα προσκείμενη στὸν Ἰουστινιάνη πηγή, σημειώνει μάλιστα ὅτι σκόπευε νὰ γυρίσει μόλις περιποιόταν τὴν πληγή του (XXXIX 10, 357,13-14). Σὲ ἄλλο σημεῖο ἀφήνει νὰ ἐννοηθεῖ ὅτι οἱ στρατιῶτες του εἶχαν μείνει πίσω καὶ ἔφυγαν μόνον ὅταν οἱ Τοῦρκοι πέρασαν τὸ τεῖχος: *τινὲς τῶν αὐτοῦ φεύγοντες, ἔδραμον λέγοντες, πῶς οἱ Τοῦρκοι εἰσίασιν ἐν τῇ πόλει καὶ ὁ βασιλεὺς ἐσφάγη* (XXXIX, 28, 371,27-28). Ὁ Ψευδο-Σφραντζῆς ἀντίθετα γράφει ὅτι ὅταν πληγώθηκε ἔχασε τὴν ψυχραιμία του, δὲν εἶπε τίποτε σὲ κανέναν οὔτε ἄφησε στὴν θέση του ἀντικαταστάτη γιὰ νὰ μὴ δημιουργηθεῖ σύγχυση. Προσθέτει ἀκόμη ὅτι πέρασε στὸν Γαλατᾶ, ὅπου πέθανε *αἰσχρῶς ἐκ τῆς πικρίας καὶ περιφρονήσεως* (426,23-24), ἂν καὶ εἶναι γνωστὸ ὅτι πέθανε στὴν Χίο ἀπὸ τὸ τραῦμα του.

77. *πρὸς Κανταχουζηνόν*: Ὑπονοεῖται ὁ *μέγας δομέστικος* Ἀνδρόνικος Παλαιολόγος Καντακουζηνὸς (*PLP* 10957).

80. *ἔτρωσαν βασιλέα Κωνσταντῖνον ἐς τὸν ὦμον, καὶ ἐτελεύτησεν*: Γιὰ τὶς τελευταῖες στιγμὲς τῆς ζωῆς τοῦ Κωνσταντίνου Παλαιολόγου δὲν ἔχουμε ξεκάθαρη εἰκόνα. Ὁ Δούκας γράφει ὅτι χτυπήθηκε ἀπὸ ἕναν ἀντίπαλο στὸ πρόσωπο καὶ ἀπὸ κάποιον δεύτερο θανάσιμα ἀπὸ πίσω, ἀλλὰ δὲν γνώριζαν ὅτι ἦταν ὁ βασιλεύς, *ἀλλ' ὡς κοινὸν στρατιώτην θανατώσαντες ἀφῆκαν* (XXXIX 13, 361,3-7). Ἀργότερα δύο νέοι ἀνήγγειλαν στὸν σουλτάνο ὅτι ἐκεῖνοι σκότωσαν τὸν βασιλέα καὶ πρὸς ἀπόδειξη τοῦ ἔφεραν τὴν κεφαλή του. Τότε ἀναγνωρίστηκε ἀπὸ τὸν Λουκᾶ Νοταρᾶ καὶ στὴν συνέχεια τὴν κάρφωσαν στὸν κίονα τοῦ Αὐγουσταίου (Δούκας, XL 3, 377,11-20).

84-85. *τὴν πύλην – Ῥωμανοῦ*: Γιὰ τὴν τοποθεσία τῆς πύλης, ἡ ὁποία σήμερα εἶναι

γνωστὴ καὶ ὡς Topkapi, πλησίον τῆς περιοχῆς τοῦ Πέμπτου, βλ. Janin, *Constantinople byzantine*, 420-421.

102-103. *κατά τινα χρησμὸν ᾀδόμενον*: Ὁ Δούκας ἀποδίδει σὲ ψευδομάντεις τὶς διάφορες προφητεῖες καὶ τοὺς χρησμοὺς γιὰ τὴν ἐπικείμενη πτώση, τὴν ἔφοδο τῶν Τούρκων ἕως τὸν Κίονα τοῦ Μεγάλου Κωνσταντίνου (*ἄχρι τοῦ Ταύρου χώρου τῆς πόλεως* στὸν Χαλκοκονδύλη) καὶ ἀμέσως μετὰ τὴν θαυματουργὴ σωτηρία ἀπὸ ἄγγελο ἐμφανιζόμενο ἐξ οὐρανοῦ, ὁ ὁποῖος θὰ ἔδινε στὸν βασιλέα τὴν ρομφαία του λέγοντας, *λαβὲ τὴν ῥομφαίαν ταύτην καὶ ἐκδίκησον τὸν λαὸν Κυρίου* (Δούκας, XXXIX, 18, 365,24-25).

103. *τοῦ Ταύρου χώρου*: Δυτικὰ τοῦ Φόρου τοῦ Μεγάλου Κωνσταντίνου, ὅπου εἶχε στηθεῖ ἡ στήλη τοῦ Θεοδοσίου Α΄ τὸ 396 καὶ ἀργότερα τὸ ἄγαλμα τοῦ Ἀναστασίου (Janin, *Constantinople byzantine*, 84-85).

Η ΥΠΟΤΙΘΕΜΕΝΗ ΠΡΟΔΟΣΙΑ ΤΟΥ ΓΕΩΡΓΙΟΥ ΑΜΟΙΡΟΥΤΖΗ

Ὁ ρόλος τοῦ πρωτοβεστιαρίου Γεωργίου Ἀμοιρούτζη στὶς διαπραγματεύσεις γιὰ τὴν ὑπὸ ὅρους παράδοση τῆς Τραπεζούντας στὸν Μωάμεθ Β΄ ἕως καὶ σήμερα παραμένει σκοτεινός. Στὴν παλαιότερη βιβλιογραφία χαρακτηρίζεται ὡς προδότης γιὰ δύο κυρίως λόγους: (α) ἔπεισε τὸν δειλοκάρδιο Δαβὶδ Κομνηνὸ νὰ παραδώσει τὴν πόλη στὸν σουλτάνο, προβάλλοντας τὸ ἐπιχείρημα ὅτι μὲ αὐτὸν τὸν τρόπο ἡ πόλη δὲν θὰ ὑποστεῖ τὶς καταστροφικὲς συνέπειες τῆς ἅλωσης, φόνους, λεηλασίες καὶ ὑποδούλωση (β) εὐθύνεται γιὰ τὴν σφαγὴ τοῦ Δαβὶδ Κομνηνοῦ καὶ τῶν γιῶν του, διότι παρέδωσε στὸν Μωάμεθ Β΄ μία ἐπιστολὴ πρὸς τὸν τραπεζούντιο ἡγεμόνα, ἡ ὁποία τὸν καθιστοῦσε ὕποπτο συνωμοσίας. Ὁ προδοτικός του ρόλος ἀποδεικνύεται, ἐξάλλου, καὶ ἀπὸ τὸ γεγονὸς ὅτι ὁ ἴδιος σταδιοδρόμησε στὸ σεράι, ἐνῶ ἄλλοι συμπατριῶτες του χάθηκαν εὐθὺς ἐξαρχῆς. Οἱ ἐπικριτές του, ἀναφορικὰ μὲ τὴν παράδοση τῆς πόλης, ἐπισημαίνουν τὶς ἀδυναμίες τοῦ τουρκικοῦ στρατοῦ, ἰδίως πυροβόλων ὅπλων καὶ ἱππικοῦ, ἀλλὰ καὶ τὶς καιρικὲς συνθῆκες ποὺ δὲν θὰ εὐνοοῦσαν μία μακρόχρονη πολιορκία ἢ τὸν θαλάσσιο ἀποκλεισμὸ τοὺς χειμερινοὺς μῆνες. Ἡ Τραπεζούντα, μὲ ἄλλους λόγους, θὰ μποροῦσε νὰ ὑπομείνει τὴν πολιορκία καὶ νὰ μὴν παραδοθεῖ. Ἄλλωστε, ἀρκετὲς πόλεις δὲν ὑπέκυψαν στὸν σουλτάνο κατὰ τὴν πορεία του πρὸς τὸ κράτος τῶν Μεγάλων Κομνηνῶν.[152]

152. W. Miller, *Trebizond. The last Greek Empire of the Byzantine Era*, Λονδίνο 1926, 103-105. Μητροπολίτου Τραπεζοῦντος Χρυσάνθου [Φιλιππίδου], *Ἡ Ἐκκλησία Τραπεζοῦντος*, Ἀθήνα 1936 (= *Ἀρχεῖον Πόντου* 4-5 (1936) 318-321). F. Babinger, *Mehmed the Conqueror and his Time*, Princeton 1978, 195-196.

Εἶναι ἀνώφελο νὰ συζητήσουμε τὶς προοπτικὲς μιᾶς περαιτέρω ἀντίστασης, δεδομένου ὅτι ἡ πόλη εἶχε ἤδη ὑποστεῖ τὶς συνέπειες τοῦ θαλάσσιου ἀποκλεισμοῦ ἐπὶ ἕνα σχεδὸν μήνα ἢ καὶ περισσότερο. Ὅσον ἀφορᾶ δὲ τὶς στρατιωτικὲς προετοιμασίες τοῦ σουλτάνου, ὁ Κριτόβουλος δίνει τὴν ἐντύπωση μιᾶς καλοσχεδιασμένης ἐπιχείρησης, ἀπὸ τὴν ὁποία δὲν ἔλειπαν οἱ πολιορκητικὲς μηχανὲς οὔτε τὰ πυροβόλα ὅπλα. Ὁ τουρκικὸς στόλος ξεπερνοῦσε τὰ τριακόσια πλοῖα, τὸ δὲ ἱππικό του ἔφτανε τὶς ἑξήντα χιλιάδες καὶ τὸ πεζικό του τὶς ὀγδόντα (Δ 2, Reinsch, 153-154). Εὐθὺς ἐξαρχῆς, θὰ πρέπει νὰ ἐπισημανθεῖ ὅτι ὁ Κριτόβουλος δὲν ἀναφέρει τὸν μεσολαβητικὸ ρόλο τοῦ Ἀμοιρούτζη κατὰ τὴν παράδοση τῆς πόλης, ἂν καὶ σὲ ἄλλο σημεῖο τῆς Ἱστορίας του τοῦ πλέκει τὸ ἐγκώμιο (Δ 9, 165-166). Ὅσο δὲ γιὰ τὶς εἰρηνευτικὲς προτάσεις ποὺ ἔκανε ὁ Μαχμοὺτ πασὰς στὸν Δαβὶδ Κομνηνό, ὁ ἴδιος ἱστορικὸς ἀναφέρει τὸν ἕλληνα διαμεσολαβητὴ Θωμᾶ Καταβοληνό, τὴν διπλωματικὴ δραστηριότητα τοῦ ὁποίου μνημονεύει καὶ ἀλλοῦ, καὶ ὄχι τὸν Ἀμοιρούτζη (Δ 7, 162,23, 163,13. Γ 20, 143,17-18).

Τὴν πτώση τῆς Τραπεζούντας ἐξιστοροῦν ἐντελῶς συνοπτικὰ ὁ Δούκας (XLV 19, Grecu, 429,24-431,9) καὶ διεξοδικότερα ὁ Κριτόβουλος (Δ 7-8, 162-165) καὶ ὁ Χαλκοκονδύλης (IX, Darkó, 246,19-248,23). Ὁ τελευταῖος δίνει καὶ τὶς πιὸ ἐνδιαφέρουσες λεπτομέρειες τόσο γιὰ τὴν πτώση τῆς πόλης ὅσο καὶ γιὰ τὶς τύχες τῆς οἰκογένειας τοῦ Δαβὶδ Κομνηνοῦ (IX, 248,24-249,31), ζητήματα ποὺ ἀπέφυγε νὰ θίξει ὁ ἱστορικὸς τοῦ σουλτάνου γιὰ εὐνόητους μᾶλλον λόγους. Ἡ ἐξιστόρηση τοῦ Χαλκοκονδύλη, ἀπὸ τὴν ἄλλη πλευρά, ἀντιμετωπίζεται μὲ ἐπιφυλάξεις ὡς πρὸς τὴν ἀξιοπιστία της, διότι θεωρεῖται μεταγενέστερη προσθήκη στὸ κείμενο.[153] Συγκεκριμένα, σὲ ἕνα παρασελίδιο σημείωμα τοῦ ἀρχαιότερου κώδικα τῆς Ἱστορίας τοῦ Χαλκοκονδύλη (*Paris. gr.* 1780), τὸ ὁποῖο χρονολογεῖται στὴν δεκαετία τοῦ 1460 ἢ στὰ μέσα τῆς ἑπομένης, ὁ γραφέας ἔχει ἐπισημάνει τὴν προσθήκη μὲ τὴν χαρακτηριστικὴ φράση *οὐ Λαονίκου τάδε μέχρι ὧδε*, δίχως ὅμως νὰ καθορίζει τὴν ἀρχὴ ἢ τὸ τέλος τῆς ξένης παρεμβολῆς (IX, 249,4 Darkó, κριτικὸ ὑπόμνημα). Τελευταῖα ὑποστηρίχτηκε ὅτι τὸ ἐν λόγῳ ἀπόσπασμα εἶναι αὐθεντικό, τουλάχιστον κατὰ τὸ μεγαλύτερο

153. N.B. Τωμαδάκης, «Ἐτούρκευσεν ὁ Γεώργιος Ἀμιρούτζης;», *ΕΕΒΣ* 18 (1948) 99-143. Ο. Λαμψίδης, «Πῶς ἠλώθη ἡ Τραπεζοῦς;», *Ἀρχεῖον Πόντου* 17 (1952) 15-54.

μέρος του, καὶ εἰδικότερα τὸ κομμάτι ποὺ περιλαμβάνει τὴν κατάληψη τῆς πόλης καὶ τὴν κατάλυση τοῦ τραπεζουντιακοῦ κράτους. Ἐμβόλιμη θεωρεῖται, ὡστόσο, ἡ συνέχεια τῆς ἀφήγησης, ποὺ διαλαμβάνει τὸ τραγικὸ τέλος τῆς οἰκογένειας τοῦ Δαβὶδ Κομνηνοῦ, καί, φυσικά, τὴν ἀνάμειξη σ' αὐτὴν τὴν τραγικὴ ὑπόθεση τοῦ πρωτοβεστιαρίου Γεωργίου Ἀμοιρούτζη. Στὴν προκειμένη, ὅμως, περίπτωση –καὶ ἐδῶ ἔγκειται τὸ ἐνδιαφέρον ποὺ ἀποκτᾶ ἡ περίπτωση Ἀμοιρούτζη– ὑποστηρίχτηκε ὅτι τὴν προσθήκη στὸ κείμενο τὴν ἔκανε ὁ ἴδιος ὁ πρωτοβεστιάριος ἢ ἐνδεχομένως κάποιος ἀπὸ τὸν κύκλο του προχειμένου νὰ διαλύσει τὴν ὑποψία ποὺ τὸν βάρυνε, δηλαδὴ ὅτι εὐθυνόταν γιὰ τὴν θανάτωση τοῦ Δαβὶδ Κομνηνοῦ καὶ τῶν γιῶν του.[154] Ὅπως καὶ νὰ ἔχει τὸ ζήτημα, τὰ δύο ὑποτιθέμενα παρέμβλητα μέρη, (α) IX, 246,19-248,23: ἡ πτώση τῆς Τραπεζούντας καὶ (β) IX, 248,24-249,31: τὸ τέλος τῶν Κομνηνῶν, χρονολογοῦνται βάσει τῶν κωδικολογικῶν στοιχείων τοῦ *Paris. gr.* 1780 λίγο μετὰ τὴν ὁλοκλήρωση τοῦ ἔργου τοῦ Χαλκοκονδύλη. Ἀλλὰ πέρα ἀπὸ τὴν πατρότητα τῶν δύο ἀποσπασμάτων, ἂν πρέπει νὰ ἀποδοθοῦν ὁλόκληρα ἢ μερικῶς στὴν γραφίδα τοῦ Χαλκοκονδύλη ἢ τοῦ Ἀμοιρούτζη ἢ ἀκόμη ἑνὸς γραφέως κωδίκων, ὅπως τοῦ Δημητρίου Ἀγγέλου, ποὺ προτείνει ὁ τελευταῖος μελετητὴς τοῦ θέματος Α. Καλδέλλης, προέχει νὰ ἐξετάσουμε τὴν αὐθεντικότητα τῶν εἰδήσεων ποὺ μᾶς παραδίδουν.

Κατὰ τὸν Κριτόβουλο, οἱ λόγοι τῆς ἐκστρατείας τοῦ Μωάμεθ Β' ἐναντίον τῆς Σινώπης καὶ τῆς Τραπεζούντας ἦταν ἡ ἐπιβολὴ τῆς τάξεως ἀνάμεσα στὶς ἑτερόκλιτες ἡγεμονίες τοῦ Πόντου, ποὺ ὄχι μόνον δὲν κατέβαλλαν τὸν φόρο ὑποτελείας ποὺ ὄφειλαν στὸν σουλτάνο, ἀλλὰ παρέβαιναν καὶ τὶς συνθῆκες εἰρήνης ποὺ εἶχαν ὑπογράψει (Δ 1, 153,17-27). Οἱ λόγοι αὐτοὶ ἐπαναλαμβάνονται ἀπὸ τὸν Κριτόβουλο σχεδὸν παγίως πρὶν ἀπὸ κάθε μεγάλη ἐκστρατεία σὲ μία προσπάθεια νὰ δικαιολογήσει τὸν τουρκικὸ ἐπεκτατισμό, ἑπομένως δὲν ἔχουν ἰδιαίτερη ἀξία. Μὲ τὴν ὑποδούλωση τῆς Σινώπης καὶ τῆς Τραπεζούντας, τῶν δύο σημαντικότερων ἐμπορικῶν κέντρων τοῦ Πόντου, ὁ σουλτάνος θὰ

154. Βλ. A. Kaldellis, «The Interpolations in the *Histories* of Laonikos Chalkokondyles», *GRBS* 52 (2012) 259-283. V. Grecu, «Zu den Interpolationen im Geschichtswerke des Laonikos Chalkokondyles», *Bulletin de la section historique de l'Academie Roumaine* 27 (1946) 92-94.

κυριαρχοῦσε πλέον καὶ στὴν Μαύρη Θάλασσα. Αὐτὸς ἦταν, ἄλλωστε, καὶ ὁ ἀπώτερος σκοπός του. Ἡ ἐξιστόρηση τοῦ Κριτόβουλου, ὁ ὁποῖος παρακολουθοῦσε τὰ γεγονότα ἀπὸ τὴν τουρκικὴ πλευρά, δὲν διαφοροποιεῖται σημαντικὰ ἀπὸ τὴν ἀντίστοιχη τοῦ θεωρούμενου ὡς ἐμβόλιμου χωρίου στὸν Χαλκοκονδύλη. Τὸ ἀξιοσημείωτο πάντως στὴν ἐξιστόρηση τοῦ Κριτόβουλου εἶναι ἡ ἀποσιώπηση τοῦ ὀνόματος τοῦ τελευταίου αὐτοκράτορα Δαβὶδ Κομνηνοῦ, τὸν ὁποῖο ἀποκαλεῖ ἁπλῶς βασιλέα. Ἀσφαλῶς καὶ γνώριζε τὰ πάντα γι' αὐτόν, ἄλλωστε ἀναφέρεται στὴν ἐγκατάστασή του στὴν περιοχὴ τοῦ Στρυμόνα καὶ στὴν ἐτήσια ἐπιχορήγηση ποὺ τοῦ εἶχε δοθεῖ (Δ 9, 165,14-20). Μαζὶ μὲ τὸ ὄνομά του ἀποσιώπησε γιὰ εὐνόητους λόγους καὶ τὸ τραγικό του τέλος. Ὅπως καὶ νὰ ἔχει τὸ ζήτημα, καὶ οἱ δύο ἱστορικοὶ ἀναφέρονται:

(α) στὶς πολεμικὲς προετοιμασίες τοῦ Μωάμεθ Β' (Κριτ. Δ 1, 152,1-15, 155,3-6 Χαλκ. IX, 239,6-16)

(β) στὴν παράδοση τῆς Σινώπης (Κριτ. Δ 2-7, 153,30-156,22 Χαλκ. IX, 239,16-241,23)

(γ) στὴν σύναψη εἰρήνης μὲ τὸν ἡγεμόνα τῶν Τουρκομάνων Οὐζοὺν Χασάν (Κριτ. Δ 6, 161,9-162,2 Χαλκ. IX, 244,11246,18)

(δ) στὴν πολιορκία τῆς Τραπεζούντας, στὶς εἰρηνευτικὲς προτάσεις τοῦ Μαχμοὺτ πασᾶ πρὸς τὸν Δαβὶδ Κομνηνὸ καὶ ἀκολούθως στὴν παράδοση τῆς πόλης (Κριτ. Δ 7-8, 162,3-165,3 Χαλκ. IX, 246,19-248,23).

Ἀπὸ τὴν ἐξιστόρηση τῆς θεωρούμενης παρεμβολῆς στὴν Ἱστορία τοῦ Χαλκοκονδύλη, ὡστόσο, σχηματίζουμε μία πιὸ ὁλοκληρωμένη εἰκόνα τῶν περιστάσεων ποὺ ὁδήγησαν στὴν κατάληψη τῆς πόλης. Οἱ πληροφορίες τοῦ συγγραφέα σίγουρα προῆλθαν ἀπὸ ἑλληνικὴ πηγή, καὶ ἑπομένως δὲν ἀπηχοῦν τὴν προπαγάνδα ποὺ χαρακτηρίζει τὸ κείμενο τοῦ Κριτόβουλου. Ὁ συγγραφέας παρακολουθεῖ τὶς τύχες τῶν κατοίκων ποὺ ἔμειναν πίσω, ὅπως καὶ τὶς τύχες τῶν αἰχμαλώτων ποὺ μεταφέρθηκαν στὴν Κωνσταντινούπολη. Ἡ ἐξιστόρηση τῆς παρεμβολῆς ὁλοκληρώνεται μὲ τὸ τραγικὸ τέλος τῆς οἰκογένειας τοῦ Δαβὶδ Κομνηνοῦ, ἐξαιτίας τῶν ἐπιστολῶν ποὺ παρέδωσε ὁ πρωτοβεστιάριος στὸν σουλτάνο. Ἐπρόκειτο γιὰ τὰ γράμματα ποὺ ἔστειλε στὸν Δαβὶδ Κομνηνὸ ἡ ἀνιψιά του Θεοδώρα, ἡ σύζυγος τοῦ Οὐζοὺν Χασάν, ἡγεμόνα τῶν Ἀσπροπροβατάδων (Kara-koyunlu) καὶ ἀνταγωνιστῆ τοῦ Μωάμεθ Β'. Συνεπῶς τὰ δύο ὑποτιθέμενα παρέμβλητα

μέρη [(α) IX, 246,19-248,23: ἡ πτώση τῆς Τραπεζούντας καὶ (β) IX, 248,24-249,31: τὸ τέλος τῶν Κομνηνῶν] ἀπαρτίζουν ἕνα ἑνιαῖο σύνολο καὶ φυσικὰ προϋποθέτουν ἕναν συγγραφέα. Στὴν προκειμένη περίπτωση, οἱ ἀναφορὲς τοῦ ἔνατου βιβλίου τῆς Ἱστορίας τοῦ Χαλκοκονδύλη στὴν τραπεζουντιακὴ ἱστορία (ἐξέγερση Ἰωάννη Δ' Κομνηνοῦ καὶ ἐπίθεση τοῦ Τζινεὴτ κατὰ τῆς Τραπεζούντας, IX 219,12-222,21), μαζὶ μὲ κάποιες παρεκβάσεις γιὰ τὸν χριστιανισμὸ τῆς Ἰβηρίας (IX 223,5-224,14), συγκροτοῦν ἕναν φάκελο, τὸ ὑλικὸ τοῦ ὁποίου προφανῶς ἐνσωματώθηκε στὴν διήγηση ἀπὸ τὸν ἴδιο τὸν Χαλκοκονδύλη δίχως νὰ ἔχει ὑποστεῖ μία τελικὴ ἐπεξεργασία. Διότι ἂν θεωρήσουμε αὐτὸ τὸ ὑλικὸ ὁλότελα ξένο πρὸς τὴν συγγραφή του, δηλαδὴ σὰν μία ξένη προσθήκη, τότε θὰ πρέπει νὰ δεχθοῦμε ὅτι ἡ τραπεζουντιακὴ ἱστορία γιὰ κάποιους ἀνεξήγητους λόγους ἀπουσίαζε ἀπὸ τὸ ἔργο τοῦ Χαλκοκονδύλη –πράγμα ἐντελῶς ἀδιανόητο– καὶ τὸ χάσμα αὐτὸ συμπληρώθηκε ἀπὸ κάποιον μεταγενέστερο συγγραφέα ἢ ἁπλῶς γραφέα.

Ἡ ὑποτιθέμενη δεύτερη προσθήκη (IX, 248,24-249,31) ἀποδόθηκε στὸν Γεώργιο Ἀμοιρούτζη ἢ σὲ κάποιον ἀπὸ τὸν στενό του κύκλο γιὰ τοὺς λόγους ποὺ ἀναφέραμε παραπάνω – τὴν διαφύλαξη τῆς ὑστεροφημίας του. Ἡ διατύπωση τοῦ ἀποσπάσματος, ὡστόσο, ὡς πρὸς τὸ νόημα ποὺ δίνει, εἶναι ἀρκούντως προβληματική:

> *ἐνεχείρισε δὲ ταῦτα τὰ γράμματα ὁ πρωτοβεστιάριος*
> *Γεώργιος ἐπὶ τρόπῳ τάχα ἀγαθῷ, ὅπως φανήσεται ὁ*
> *Βασιλεὺς εἰς πίστωσιν ἴσως ἀγαθήν* (IX 248,13-15).

Διότι ἂν ὁ στόχος τοῦ interpolator ἦταν νὰ δικαιώσει τὸν Ἀμοιρούτζη ἢ νὰ ἀμβλύνει τὶς ὑποψίες ποὺ τὸν βάρυναν (ἄποψη Καλδέλλη), τότε δὲν πρέπει νὰ πέτυχε τὸν στόχο του, ἐφόσον ὅλοι οἱ μεταγενέστεροι ἱστορικοί, ποὺ προφανῶς στηρίχτηκαν στὸ κείμενο τοῦ Χαλκοκονδύλη, ἑρμήνευσαν τὸ ἐν λόγῳ ἀπόσπασμα ἀρνητικά.[155] Καὶ ὄχι μόνον τὸ δεύτερο, ἀναφορικὰ μὲ τὴν ἐξόντωση τῶν

155. Κατὰ τὸν Ν.Β. Τωμαδάκη, «Ἐτούρκευσεν ὁ Γεώργιος Ἀμιρούτζης;», *ΕΕΒΣ* 18 (1948) 99-143, οἱ εἰδήσεις τῶν μεταγενέστερων χρονικῶν εἶναι ἐντελῶς ἀναξιόπιστες, ὅπως καὶ τὸ σχετικὸ κείμενο τοῦ Χαλκοκονδύλη, τὸ ὁποῖο εἶναι πλαστὸ καὶ ἐμβόλιμο. Οἱ

Κομνηνῶν ἐξαιτίας τῆς ἀποκάλυψης ποὺ ἔκανε, ἀλλὰ καὶ τὸ πρῶτο, σχετικὰ μὲ τὸν διαμεσολαβητικό του ρόλο στὴν παράδοση τῆς Τραπεζούντας.

(α) *Ἔκθεσις Χρονική*, Lambros, 26,17-27,1
Οὗτος γὰρ ὁ πρωτοβεστιάριος ὑπῆρχεν ἔγγονος τοῦ Ἰάγαρη, ὁμοίως καὶ ὁ Μαχουμοὺτ πασίας ἐκ τῆς ἄλλης θυγατρὸς τοῦ Ἰάγαρη τῆς οὔσης ἐν τῇ Σερβίᾳ ὑπῆρχον οὖν πρωτεξάδελφοι. Καὶ μετὰ δόλου καὶ ἀπάτης αὐτοῦ τοῦ πρωτοβεστιαρίου ἐπορεύθη ὁ αὐθέντης ἐν τῇ Τραπεζούντᾳ. Αὐτὸς γὰρ ἔπεισε καὶ τὸν ταλαίπωρον βασιλέα καὶ ἐπροσεκύνησεν· ἦν γὰρ ὁ βασιλεὺς οὗτος νωθρὸς καὶ ἄνανδρος καὶ οὐχ ἱκανὸς εἰς βασιλείαν. Εὗρε γὰρ ὁ πρωτοβεστιάριος τιμὴν ὅ τι καὶ πλείστην ἔκ τε τοῦ αὐθεντὸς καὶ τοῦ μπασία. Πβ. Χαλκ. IX, 247,5-6: *καὶ λόγους προσφέρων [ὁ Μαχούμετ] πρὸς τὸν αὐτοῦ ἐξάδελφον Γεώργιον πρωτοβεστιάριον...*

(β) *Ἱστορία πολιτικὴ Κωνσταντινουπόλεως, CSHB*, 37,22-38,6
Τὸν βασιλέα δὲ Τραπεζοῦντος καὶ πάντας τοὺς ἄρχοντας ἐμβιβάσας ἐν πλοίοις ἤνεγκεν εἰς τὴν Κωνσταντίνου, τὸν Καβαζίτην καὶ πᾶσαν τὴν γενεὰν αὐτοῦ, τὸν μέγα μεσάζοντα, τὸν πρωτοβεστιάριον, τὸν ἔγγονον τοῦ Ἰάγαρι, ὃς διὰ δόλου ταῦτα ἐποίησεν. ὑπῆρχε δὲ καὶ ὁ ἐκεῖ ἄρχων [= Δαβὶδ Κομνηνὸς] ἀρχῆς ἀνάξιος. Εὗρε δὲ ὡς ἐπίβουλος ὁ πρωτοβεστάριος τιμὴν πολλὴν ἐκ τῶν τῆς Ἄγαρ καὶ τοῦ πασιᾶ.

Ὁ χαρακτηρισμὸς τοῦ Ἀμοιρούτζη ὡς προδότη στὶς ἱστορικὲς πηγὲς τοῦ 16ου αἰώνα θὰ μπορούσαμε νὰ ποῦμε ὅτι ἀνάγεται ἐν μέρει στὴν ἀποστασιοποιημένη ἀφήγηση τοῦ Χαλκοκονδύλη καὶ πιθανὸν στὶς φῆμες ποὺ δημιουργήθηκαν γύρω ἀπὸ τὸ ἄτομό του. Ἡ προσωπικότητά του, ὅπως καὶ ἡ ὅλη σταδιοδρομία του,

ἐναντίον τοῦ Ἀμοιρούτζη κατηγορίες, σύμφωνα μὲ τὸν N.B. Τωμαδάκη, προῆλθαν ἀπὸ πατριαρχικοὺς κύκλους, ποὺ ἦρθαν σὲ ρήξη μὲ τὸν γιὸ τοῦ Ἀμοιρούτζη, Σκεντέρμπεη, ὑπάλληλο τοῦ δημοσίου, ὁ ὁποῖος μετὰ ἀπὸ οἰκονομικὸ ἔλεγχο ἐπέβαλε κυρώσεις στὸ πατριαρχεῖο, πρακαλώντας καὶ τὴν ἀποπομπὴ τοῦ πατριάρχου Νήφωνος. Πβ. καὶ Ο. Λαμψίδης, «Πῶς ἡλώθη ἡ Τραπεζοῦς;», *Ἀρχεῖον Πόντου* 17 (1952) 15-54.

εἶναι συνεπῶς ἀντιφατική.[156] Περιττὸ νὰ ἀναφερθοῦμε στὶς θρησκευτικές του πεποιθήσεις καὶ στὴν μεταστροφή του ἀπὸ ὀπαδὸ τῆς Ἕνωσης σὲ πολέμιό της. Σὲ σχέση ὅμως μὲ τὴν ἅλωση τῆς Τραπεζούντας, ἀξίζει νὰ σχολιάσουμε τὴν ἐπιστολὴ ποὺ ἔγραψε λίγους μόνον μῆνες μετὰ τὸν ἐρχομό του στὴν Ἀδριανούπολη πρὸς τὸν συμπατριώτη του Βησσαρίωνα (11 Δεκεμβρίου τοῦ 1461), ἀπὸ τὸν ὁποῖο ζητοῦσε οἰκονομικὴ βοήθεια γιὰ νὰ ἐξαγοράσει ἀπὸ τὸν σουλτάνο τὸν αἰχμάλωτο γιό του Βασίλειο.[157] Στὴν ἀρχὴ τῆς ἐπιστολῆς του ἀναφέρθηκε στὴν παράδοση τῆς πόλης, ἡ ὁποία ἐνῶ ἔγινε μετὰ ἀπὸ διαπραγματεύσεις, τελικὰ ὑπέφερε ὅλα τὰ δεινὰ τῶν πόλεων ποὺ κυριεύθηκαν κατὰ κράτος (Boissonade, 390,2-4).[158] Ὁ ἴδιος βρισκόταν σὲ δεινὴ θέση ἐξαιτίας τοῦ γιοῦ του Βασιλείου, τὸν ὁποῖο προσπαθοῦσαν νὰ προσηλυτίσουν στὸν μωαμεθανισμό. Βλέποντας τὸ ἀνέφικτο τοῦ ἐγχειρήματος αὐτοῦ, ὁ σουλτάνος ἀποφάσισε νὰ τὸν πουλήσει γιὰ ἕνα μεγάλο ποσό, ποὺ ὁ Ἀμοιρούτζης ἀδυνατοῦσε νὰ καταβάλει (Boissonade, 397,14-398,12). Ὁ Βησσαρίων μποροῦσε νὰ στείλει τὰ χρήματα ἀπὸ τὴν Βενετία ἢ τὴν Φλωρεντία στὴν Κωνσταντινούπολη καὶ τότε θὰ μετέβαινε ὁ ἴδιος στὴν πόλη γιὰ νὰ τὰ παραλάβει, ἀφοῦ ἡ ἀπόσταση ἦταν μόλις τριῶν ἡμερῶν ταξίδι (Boissonade, 400,10-17).

Δὲν γνωρίζουμε ἂν ὁ Βησσαρίων ἀνταποκρίθηκε στὴν ἔκκληση τοῦ Ἀμοιρούτζη. Τὸ μόνο βέβαιο εἶναι ὅτι ὁ Βασίλειος ἀσπάστηκε τελικὰ τὸ Ἰσλὰμ μαζὶ μὲ τὸν ἀδελφό του Ἀλέξανδρο. Ἀπὸ τὴν ἄλλη, ἡ εἰκόνα τῆς δυστυχίας ποὺ περιγράφει ἡ ἐπιστολὴ ἔχει ἀμφισβητηθεῖ ὡς πρὸς τὴν εἰλικρίνεια τοῦ γράφοντος: *σὲ γὰρ ἔχοντες καὶ αἰχμαλωσίαν καὶ πενίαν καὶ πᾶσαν τύχην οὐ χαλεπῶς οἴσομεν* (Boissonade, 400,6-8). Ἡ ἑτοιμότητα τοῦ ἐπιστολογράφου νὰ τα-

156. Α.Γ.Κ. Σαββίδης, *Οἱ Μεγάλοι Κομνηνοὶ τῆς Τραπεζούντας καὶ τοῦ Πόντου*, [Ἀρχεῖον Πόντου –Παράρτημα 25], Ἀθήνα 2005, 132-133, 139-140.

157. *Γεώργιος ὁ Ἀμιρούτζης Βησσαρίωνι*, ἐκδ. J.F. Boissonade, *Anecdota Graeca*, τ. V, Παρίσι 1883, 389-401.

158. Τὸ σχόλιο τοῦ Ἀμοιρούτζη θὰ μποροῦσε νὰ ἐκληφθεῖ ὡς ἔμμεση κριτικὴ στὸν Δαβὶδ Κομνηνό, ὁ ὁποῖος διαπραγματεύτηκε μόνον τὴν ἀσφάλειά του καὶ τὰ συμφέροντα τῶν δικῶν του, ἀδιαφορώντας γιὰ τὴν τύχη τῶν ὑπηκόων του. Πβ. Bryer – Winfield, *The Byzantine Monuments and Topography of Pontos*, 64.

ξιδέψει στὴν Κωνσταντινούπολη γιὰ νὰ παραλάβει τὸ βοήθημα, ἐνῶ, κατὰ τὰ λεγόμενά του, βρισκόταν στὴν αἰχμαλωσία, γεννᾶ ἐπίσης ἐρωτηματικά.[159]

Ἀλλὰ πέραν τούτου, τὸ κύριο ἐνδιαφέρον τῆς ἐπιστολῆς ἐντοπίζεται στὰ γραφόμενα τοῦ Ἀμοιρούτζη σχετικὰ μὲ τὴν παράδοση τῆς πόλης. Ἡ Τραπεζούντα, γράφει στὸν Βησσαρίωνα, ἀντιστάθηκε ἐπὶ σαράντα ἡμέρες καὶ μάλιστα προκαλώντας σοβαρὲς ἀπώλειες στὸ ἐχθρικὸ στράτευμα (Boissonade, 393,8-394,3). Ὅταν ἔφτασε ὁ σουλτάνος μὲ ἕνα στράτευμα ποὺ ξεπερνοῦσε τὶς ἑκατὸν πενήντα χιλιάδες ἡ κατάσταση ἄλλαξε μονομιᾶς. Οἱ κάτοικοι δὲν μποροῦσαν νὰ ἀντέξουν πλέον τὴν πολιορκία, διότι τοὺς ἔλειπαν οἱ προμήθειες καὶ τὸ νερὸ (Boissonade, 395,1-5). Τὸ ἀξιοσημείωτο εἶναι ὅτι ὁ δῆμος πῆρε τὴν ἀπόφαση νὰ παραδοθεῖ ἡ πόλη καὶ ὄχι ὁ αὐτοκράτορας ἢ ἡ πολιτικὴ ἡγεσία: *ὅ τε δῆμος οὐκ ἤθελεν ἔτι εἰς προῦπτον κίνδυνον αὐτὸν ἐμβαλεῖν, ἀλλ' ἐς ξυμβάσεις ἑώρα. Οὐδὲν ἔτι ἐδόκει ἐκ τῶν παρόντων οἷόν τε εἶναι τὸν πόλεμον διενεγκεῖν ἀλλὰ δῆλον ἦν ἤδη κατὰ κράτος ἁλώσασθαι* (395,5-8). Ὁ Δαβὶδ Κομνηνὸς σ' αὐτὴ τὴν συνάφεια ἀπουσιάζει παντελῶς ἀπὸ τὰ δρώμενα, καὶ μόνον ἡ αἰχμαλωσία του σχολιάζεται ἀπὸ τὸν Ἀμοιρούτζη, ἀλλὰ καὶ αὐτὴ γενικόλογα καὶ δίχως ἴχνος συναισθηματισμοῦ: *καὶ πάντας ὥσπερ ἐν μιᾷ σαγήνῃ τοὺς Κομνηνοὺς ἔσχον ὑποχειρίους* (306,8-9· πβ. 397,2-6).

[*ΟΠΩΣ ΕΑΛΩ ΠΑΡΑ ΜΑΧΟΥΜΟΥΤΕΩ Η ΤΡΑΠΕΖΟΥΣ*]

[Τὸ δὲ ἐντεῦθεν ἤδη ἐπορεύετο ἐπὶ Τραπεζοῦντα καὶ κατὰ βασιλέως Δαβίδ, ὃς τελευτήσαντος τοῦ βασιλέως τοῦ ἀδελφοῦ αὐτοῦ Ἰωάννου, καὶ καταλειφθέντος αὐτῷ ἐγγόνου ἑνός, ἐπαγόμενος τοὺς Καβασιτάνους ἄρχοντας τῶν περὶ τὴν Τραπεζοῦντα Μεσοχαλδείων κατέσχε τὴν βασιλείαν καὶ ἐβασίλευεν, ἀδικήσας τὸν ἀνεψιὸν αὐτοῦ τετραετῆ ὄντα. ὁ μέντοι στόλος ἄρας ἀπὸ Σινώπης, ἐπεὶ ταύτην προεδουλώσαντο, ἐπορεύετο ἐν δεξιᾷ ἔχων τοὺς Καππάδοκας, καὶ ἀφικόμενος ἐς τὴν πόλιν Τραπεζοῦντα τά τε προάστεια ἐνέπρησε, καὶ ἐπολιόρκει τὴν πόλιν ἐπὶ ἡμέρας τριάκοντα δύο. μετὰ δὲ ταῦτα ἐπελαύνων ἐπῄει βασιλεύς.

159. Μητροπολίτου Τραπεζοῦντος Χρυσάνθου, *Ἡ Ἐκκλησία Τραπεζοῦντος*, 321-322.

προελαύνων δὲ Μαχουμούτης ἐς Τραπεζοῦντα, καὶ αὐτοῦ που σκηνώσας ἐν τῇ λεγομένῃ Σκυλολίμνῃ, καὶ λόγους προσφέρων πρὸς τὸν αὐτοῦ ἐξάδελφον Γεώργιον πρωτοβεστιάριον, ἔλεγε πρὸς αὐτὸν εἰπεῖν τῷ βασιλεῖ Δαβὶδ τάδε· «βασιλεῖ Τραπεζοῦντος, γένους τοῦ Ἑλλήνων βασιλείου, βασιλεὺς μέγας τάδε λέγει, ὡς ὁρᾷς μὲν ὅσην χώραν διαπορευόμενος, ἐπειδὴ διεξῄει, ὥστε ἐνταῦθα γενέσθαι. ἢν οὖν αὐτίκα τὴν πόλιν παραδῷς τῷ βασιλεῖ, καὶ χώραν μέν σοι παρέχεται, ὡς καὶ τῷ Ἑλλήνων ἡγεμόνι τῆς Πελοποννήσου Δημητρίῳ εὐδαιμονίαν τε ἐδωρήσατο καὶ νήσους καὶ Αἶνον πόλιν εὐδαίμονα, καὶ ἐν ἀσφαλεῖ ὢν κάθηται εὐδαιμονῶν. ἢν δὲ μὴ πειθόμενος ἀντέχειν ἐθέλῃς, ἴσθι τήν τε πόλιν ἐξανδραποδίσαι οὐ πολλῷ ὕστερον· οὐ γὰρ ἂν ἀπαναστήσεται, μὴ ἐξελὼν πρότερον ὑμᾶς καὶ αἰσχίστῳ παραδοὺς θανάτῳ.» ταῦτα εἰπόντος τοῦ Μαχουμούτεω, ὑπολαβὼν ὁ βασιλεὺς Κολχίδος ἔλεγε τοιάδε· «ἀλλ' ἡμεῖς καὶ πρότερον τὰς βασιλέως σπονδὰς οὐ παραβαίνοντες, τόν τε ἀδελφὸν τοῦ βασιλέως πέμψαντες ἕτοιμοι ἦμεν, ἐφ' ὅ τι ἂν ἄρα κελεύοι βασιλεύς, ἴεσθαι αὐτίκα πειθόμενοι, καὶ νῦν τῷ ναυάρχῳ τοῦ βασιλέως τόδε ἐλέγομεν, ὡς ἂν μὴ τὴν χώραν κακῶς ποιοῦντες ληΐζωνται, ὡς, ἢν ἐπίῃ βασιλεύς, προσχωρήσειν αὐτῷ παρεσκευάσμεθα.» ταῦτά τε ἔλεγε, καὶ ἠξίου σπένδεσθαι αὐτῷ βασιλέα, ἐφ' ᾧ τήν τε θυγατέρα αὐτοῦ βασιλέα ἄγεσθαι καὶ χώραν αὐτῷ παρέχεσθαι, ὅσῳ ἴσην τὴν πρόσοδον αὐτοῦ τῆς χώρας ἀποδοίη τε. ταῦτα λέγων ἠξίου σπένδεσθαι. Μαχουμούτης μέν, ὡς ἐς τὸ στρατόπεδον ἀπήλαυνε βασιλεύς, ὑπήντα ἀγγέλλων τὰ παρὰ τῆς πόλεως. ἐπαρθεὶς δὲ τοῖς λόγοις τοῖσδε ὥρμητο κατὰ κράτος ἐξελεῖν τὴν πόλιν καὶ ἀνδραποδίσασθαι· ἤχθετο γάρ, ὅτι ἡ γυνὴ τοῦ βασιλέως, πρὶν ἢ ἀφικέσθαι τὸν στόλον, ἀφίκετο παρὰ τὸν ἑαυτῆς γαμβρὸν τὸν Μαμίαν προεξιοῦσα. μετὰ δὲ ταῦτα βουλευομένῳ οἱ ἐδόκει ἐς τὴν ξύμβασιν τοὺς ὅρκους ποιεῖσθαι, καὶ ἐγίνοντο οἱ ὅρκοι τοῦ βασιλέως, μετὰ δὲ καὶ τὴν πόλιν παρελάμβανον Τραπεζοῦντα οἱ τοῦ βασιλέως νεήλυδες, ὡς ἐπέταξε βασιλεύς. τὸν δὲ βασιλέα Τραπεζοῦντος ἐμβάντα ἐς τὰς ναῦς ἅμα τοῖς παισὶν αὐτοῦ καὶ τῇ θυγατρὶ καὶ συγγένεσιν αὐτοῦ, ὅσοι παρῆσαν αὐτῷ, ἐκέλευσεν ἀποπλεῖν ἐς τὸ Βυζάντιον, ὡς αὐτίκα παρεσομένου καὶ αὐτοῦ βασιλέως διὰ τῆς ἠπείρου, τὴν μὲν οὖν πόλιν ἐπέτρεψε τῷ ναυάρχῳ, τῆς Καλλιουπόλεως ὑπάρχῳ, νεήλυδάς τε καθίστη ἐς τὴν ἀκρόπολιν καὶ ἀζάπιδας ἐς τὴν πόλιν. μετὰ δὲ ταῦτα πέμψας Χιτήρη τῆς Ἀμασίας ὕπαρχον, παρεστήσατο τὰ περὶ τὴν πόλιν χωρία καὶ τὰ περὶ τὸ Μεσοχάλδειον, Καβασιτάνων ὄντα τῶν ὑπάρχων, τοῦ τε πανσεβάστου

καὶ τοῦ υἱοῦ αὐτοῦ. καὶ ἕκαστα προσεχώρησεν. ὃς καὶ φυλακὴν ἐγκατέλιπεν, ἀναζεύξας διὰ τῆς ἠπείρου, καὶ ἀπήλαυνε, καὶ διὰ τῆς τῶν Τζανίδων χώρας ἐκομίζετο, χώραν ἐρυμνήν τε καὶ ἄβατον ἐς τὰ μάλιστα. γενόμενος δὲ ἐπὶ Βυζαντίου, βασιλέα μὲν αὐτοῦ ἐπέταξεν ἀπάγειν ἐς Ἀδριανούπολιν, καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ἐκομίζετο ἐπὶ Ἀδριανούπολιν.

Τραπεζοῦς μὲν οὖν οὕτως ἑάλω, καὶ ἡ τῆς Κόλχων χώρα σύμπασα ὑπὸ βασιλεῖ ἐγένετο, ἡγεμονία καὶ αὕτη Ἑλλήνων οὖσα καὶ ἐς τὰ ἤθη τε καὶ δίαιταν τετραμμένη Ἑλλήνων, ὥστε ἀναστάτους γενέσθαι ὑπὸ τοῦδε τοῦ βασιλέως οὐ πολλῷ χρόνῳ τοὺς Ἕλληνάς τε καὶ Ἑλλήνων ἡγεμόνας, πρῶτα μὲν τὴν Βυζαντίου πόλιν, μετὰ δὲ ταῦτα Πελοπόννησόν τε καὶ Τραπεζοῦντος βασιλέα καὶ χώραν αὐτήν.

Ταῦτα μὲν ἐς τοσοῦτον ἐγένετο· τὴν δὲ Τραπεζοῦντα ἐς μοίρας διελόμενος, τὸ μὲν παρ' ἑαυτῷ κατεκράτησε, ποιήσας σιλικταρίους καὶ σπαχογλάνους ὕστερον ἐς τὰς θύρας αὐτοῦ, τούτους κρατήσας παρ' ἑαυτὸν ὑπηρεσίας αὐτοῦ ἕνεκα καὶ ἐς τὰ παιδικά, τὸ δὲ κατῴκισεν ἐς Βυζάντιον, καὶ τὸ ἕτερον πεποίηκεν Ἰανιτζαρίους καὶ δουλευτὰς ἐν σκευαῖς, ἐπιλεξάμενος παῖδας ὀκτακοσίους, καὶ ἐς τὴν τῶν νεηλύδων τάξιν ἐτάξατο. τὴν μέντοι θυγατέρα τοῦ βασιλέως Δαβὶδ γυναῖκα μέντοι οὐχ ἠγάγετο, μετ' οὐ πολὺ δὲ ἐς τὸν κοιτῶνα μετεπέμψατο αὐτήν, σφαγιασθέντος τοῦ βασιλέως Δαβίδ, καὶ τὸν παῖδα ἔγγονον τοῦ πρότερον βασιλέως νήπιον ὄντα εἶχε παρ' ἑαυτῷ ὁ κρατῶν. ὁ μέντοι βασιλέως παῖς ὁ νεώτερος, Γεώργιος τοὔνομα, ὡς ἐς τὴν Ἀδριανούπολιν παρών, ἐτράπετο ἐπὶ τὴν τοῦ Μεχμέτεω θρησκείαν, καὶ ἐς τὰ ἤθη γενόμενος τὰ ἐκείνων οὐ πολλῷ ὕστερον συνελήφθη ἅμα τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς ὑπὸ βασιλέως. καὶ γὰρ ἔπεμψε γράμματα ἡ ἀνεψιὰ τοῦ βασιλέως, ἡ τοῦ Χασάνη γυνή, καὶ μετεκαλεῖτο ἢ τὸν τοῦ βασιλέως υἱὸν ἢ τὸν ἀνεψιὸν αὐτοῦ τὸν Ἀλέξιον τὸν ἐκ Μυτιλήνης, Κομνηνὸν ὄντα. καὶ τὰ μὲν γράμματα ἐνεχείρισαν τῷ βασιλεῖ, δηλοποιοῦντα, ὅπως εἷς ἐκ τῶν υἱῶν τοῦ βασιλέως ἢ ὁ ἀνεψιὸς αὐτοῦ, ὡς εἴρηται, ἀφίκηται πρὸς τὴν Δέσποιναν, τὴν γυναῖκα τοῦ Μακροῦ Χασάνη οὖσαν. ἐνεχείρισε δὲ ταῦτα τὰ γράμματα ὁ πρωτοβεστιάριος Γεώργιος ἐπὶ τρόπῳ τάχα ἀγαθῷ, ὅπως φανήσεται ὁ βασιλεὺς εἰς πίστωσιν ἴσως ἀγαθήν, καὶ ἄλλως ἵνα μὴ ἀκουσθῇ καὶ παρ' ἄλλων, ὅπως ὁ πρωτοβεστιάριος ἔκρυψε τοῦτο, φοβούμενος τόν τε αὐθέντη τὸν μέγαν καὶ τὸν πάσιαν Μαχουμούτη, καὶ πάθῃ κακῶς ὁ πρωτοβεστιάριος παρὰ τοῦ μεγάλου αὐθέντου. καὶ διὰ τοῦτο δέδωκε καὶ τὸν χάρτην πρὸς τὸν μέγαν αὐθέντη. τὰ μὲν οὖν γράμματα δεξάμενος ὁ βασιλεὺς καὶ νόῳ λαβὼν καθίστατο ἐς ὑποψίαν, καὶ αὐτοὺς συλλαβὼν τόν τε Δαβὶδ βασιλέα καὶ τοὺς υἱοὺς αὐτοῦ σὺν τῷ ἀνεψιῷ καθεῖρξε. καὶ τὴν μὲν θυγατέρα ἐς κοιτῶνα αὐτῷ μετεπέμψατο, ἔχων δὲ αὐτοὺς ἐν πέδαις, οὐ πολλῷ ὕστερον ἀπαγαγὼν ἐς Βυζάντιον διεχρήσατο. τοὺς μέντοι παῖδας τοὺς ἀπὸ ἄστεως καὶ ἀπὸ τῶν περιοίκων χωρίων τοὺς μὲν νεήλυδας ταξάμενος κατέθετο ἐς τὸν ἑαυτοῦ κοιτῶνα, τοὺς δ' ἄλλους ἐν τοῖς ἑαυτοῦ ἐπιτηδεύμασι, τοὺς δ' ἑτέρους ἀπεχαρίσατο τοῖς υἱοῖς αὐτοῦ καὶ τοῖς ἄρχουσι. τὰς δὲ κόρας τὰς μὲν ἐν τοῖς αὐτοῦ κοιτῶσι κατέθετο, τὰς δὲ ἀπεχαρίσατο, καί τινας ἐξ αὐτῶν τοῖς υἱοῖς αὐτοῦ ἀπεστέλλετο, ἐνίας δ' ἔν τινι ὀλίγῳ καιρῷ καὶ ὑπανδρεύσατο.

[Λαόνικος Χαλκοκονδύλης, *Ἀποδείξεις Ἱστοριῶν*, ἐκδ. E. Darkó, XI, 246,19-249,31]

Σχόλια

1-2. *κατὰ βασιλέως – Ἰωάννου*: Πρόκειται γιὰ τὸν Ἰωάννη Δ' Κομνηνὸ (1429-1458/60), τὸν ὁποῖο διαδέχθηκε ὁ ἀδελφός του Δαβίδ, παραμερίζοντας τὸν νόμιμο διάδοχο τοῦ θρόνου, τὸν ἀνήλικο ἀνεψιό του Ἀλέξιο: *ἀδικήσας τὸν ἀνεψιὸν αὐτοῦ τετραετῆ ὄντα*. Σαββίδης, *Οἱ Μεγάλοι Κομνηνοὶ τῆς Τραπεζούντας καὶ τοῦ Πόντου*, 127.

3. *Καβαζιτιανούς*: Ἀριστοκρατικὴ οἰκογένεια τοῦ Πόντου, συχνὰ σὲ ἀντιπαράθεση μὲ τοὺς Μεγάλους Κομνηνούς· βλ. Bryer, «The faithless Kabazitai and Scholarioi», *Maistor, Classical, Byzantine and Renaissance studies for Robert Browning*, Canberra 1984, 309-327.

4. *Μεσοχαλδείων*: Σειρὰ φρουρίων ἀπὸ Ζυγάνων μέχρις Ἐρζιγκιὰν κατὰ μῆκος τῆς ὀροσειρᾶς ποὺ ἐκτείνεται πάνω ἀπὸ τὴν κοιλάδα τοῦ Κάνιος, σημαντικότερο τῶν ὁποίων ἦταν τῆς Ἄρδασας, σὲ ἀπόσταση εἴκοσι πέντε περίπου χιλιομέτρων ἀνατολικὰ τῆς Ἀργυρουπόλεως. Μητροπολίτου Τραπεζοῦντος Χρυσάνθου, *Ἡ Ἐκκλησία Τραπεζοῦντος*, 81. Bryer – Winfield, *The Byzantine Monuments and Topography of Pontos*, 312.

8. *ἐπὶ ἡμέρας τριάκοντα δύο*: Στὴν ἐπιστολή του πρὸς τὸν Βησσαρίωνα, ὁ Ἀμοιρούτζης γράφει ὅτι ἡ πολιορκία διήρκεσε σαράντα ἡμέρες: *Ἡμέρας μὲν οὖν περὶ μ' ὁ πόλεμος ἦν, ἐν αἷς ἐδοκοῦμεν ἀεὶ κρατεῖν καὶ πλεῖστα βλάπτειν τοὺς πολεμίους* (Boissonade, 393, 8-10).

8. *Μετὰ δὲ ταῦτα ἐπελαύνων ἐπῄει βασιλεύς*: Ὁ Κριτόβουλος περιγράφει μὲ ἀρκετὲς λεπτομέρειες τὴν πορεία τοῦ Μωάμεθ Β' μέσῳ τοῦ δύσβατου Πόντου καὶ τὸ πέρασμα τοῦ Ταύρου ὣς τὴν Τραπεζούντα (Δ 3-4, Reinsch, 154-160). Βλ., ὡστόσο, τὴν ἐνδιαφέρουσα τοπογραφικὴ μελέτη τῶν Bryer – Winfield, «Excursus on the Routes taken by Mehmed II in 1461», *The Byzantine Monuments and Topography of Pontos*, 60-65. Ἡ πορεία ποὺ δίνει ὁ Δούκας τοῦ στρατεύματος τοῦ σουλτάνου μέσῳ Ἀρμενίας, Καυκάσου καὶ Κολχίδος δὲν εἶναι ἀκριβὴς (XLV 18, Grecu, 429,21-23).

9-10. *ἐν τῇ λεγομένῃ Σχυλολίμνῃ*: Σὲ ἀπόσταση ὀκτὼ χιλιομέτρων ἀπὸ τὴν πόλη τῆς Τραπεζούντας, πλησίον τοῦ χωρίου Μεσαρέα, ταυτίζεται μὲ τὴν ἀποξηραμένη στὸ μεταξὺ λίμνη Γκιὸλ Τσαΐρ, πάνω στὸ Μίθριον ὄρος. Μητροπολίτου Τραπεζοῦντος Χρυσάνθου, *Ἡ Ἐκκλησία Τραπεζοῦντος*, 78-79. Bryer – Winfield, *The Byzantine Monuments and Topography of Pontos*, 200.

10. *πρὸς τὸν αὐτοῦ ἐξάδελφον*: Σύμφωνα μὲ τὴν *Ἔκθεση Χρονικὴ* (Lambros, 26, 17-20), ὁ Μαχμοὺτ πασὰς καὶ ὁ Ἀμοιρούτζης ἦταν ἐγγόνια τοῦ Ἰάγαρη (*PLP* 7807), ἀπὸ τὶς δύο θυγατέρες του, ἡ μία ἀπὸ τὶς ὁποῖες (ἡ μητέρα τοῦ Μαχμοὺτ πασὰ) εἶχε παντρευτεῖ κάποιον μουσουλμάνο ἄρχοντα στὴν Σερβία. Babinger, *Mehmed the Conqueror*, 115, 195.

11. *Γεώργιον πρωτοβεστιάριον*: Γεννήθηκε στὴν Τραπεζούντα περὶ τὸ 1400 καὶ πέθανε στὴν Κωνσταντινούπολη μετὰ τὸ 1469. Σύμφωνα μὲ τὸν Κριτόβουλο, ὁ Μωάμεθ Β' ἐξαρχῆς ἐκτίμησε τὴν ἐξαιρετική του παιδεία, τοῦ ἔδωσε τὴν ἄδεια νὰ τὸν ἐπισκέπτεται καὶ νὰ συζητᾶ μαζί του φιλοσοφικὰ ζητήματα. Τοῦ ἀνέθεσε ἐπίσης τὴν χαρτογράφηση ὁλόκληρης τῆς οἰκουμένης σὲ ἕναν ἑνιαῖο χάρτη βάσει τῶν διαγραμμάτων τοῦ Κλαυδίου Πτολεμαίου. Τὰ ὀνόματα τῶν χωρῶν καὶ τῶν τόπων γράφτηκαν στὰ ἀραβικὰ ἀπὸ τὸν γιὸ τοῦ Ἀμοιρούτζη Μεχεμέτπεϊ, ποὺ γνώριζε ἑλληνικὰ καὶ ἀραβικὰ (Δ 9, Ε, 10, Reinsch, 165-166, 195-196). Ἀπὸ τὸ συγγραφικό του ἔργο σώζεται ἕνας διάλογος μὲ τὸν σουλτάνο περὶ τῆς χριστιανικῆς πίστεως, ἐρωτικοὶ στίχοι, καθὼς καὶ ὕμνοι πρὸς τὸν Μωάμεθ Β',[160] καὶ ἐπιστολές του πρὸς τὸν Θεόδωρο Ἀγαλλιανὸ καὶ τὸν ἱστορικὸ Μιχαὴλ Κριτόβουλο. *PLP*, 784. *ODB* I, 77-78. Μητροπολίτου Τραπεζοῦντος Χρυσάνθου, *Ἡ Ἐκκλησία Τραπεζοῦντος*, 314-325.

15. *Ἑλλήνων ἡγεμόνι – Δημητρίῳ*: Ὁ Κριτόβουλος περιγράφει λεπτομερῶς τὴν παράδοση τῆς Σπάρτης ἀπὸ τὸν Δημήτριο Παλαιολόγο, τὶς τιμὲς μὲ τὶς ὁποῖες ἔγινε δεκτὸς ἀπὸ τὸν σουλτάνο, ὅπως καὶ τὴν παραχώρηση σ' αὐτὸν τῶν προσόδων τῆς Αἴνου, τῆς Ἴμβρου, τῆς Λήμνου καὶ μερικῶν ἀκόμη νησιῶν τοῦ Αἰγαίου (Γ 20,7, 24,3 Reinsch, 144, 150).

21. *τόν τε ἀδελφὸν τοῦ βασιλέως*: Ἐνδεχομένως ὑπονοεῖται ὁ Κομνηνὸς Σκαντάριος, ἀδελφὸς τοῦ Δαβὶδ Κομνηνοῦ, ὁ ὁποῖος εἶχε ἐξοριστεῖ ἀπὸ τὸν ἕτερο ἀδελφό του Ἰωάννη Δ'. Περὶ τῆς ἀποστολῆς του στὴν αὐλὴ τοῦ σουλτάνου δὲν γνωρίζουμε λεπτομέρειες. *PLP* 12122.

23. *τῷ ναυάρχῳ τοῦ βασιλέως*: Ἀπὸ τὸν Κριτόβουλο πληροφορούμαστε ὅτι ὁ σουλτάνος ἔθεσε ἐπικεφαλῆς τοῦ στόλου *Κασίμην τε τὸν σατράπην Καλλιουπόλεως καὶ Ἰαγούπην ἄνδρα τά τε ναυτικὰ ἐμπειρότατον* (Δ 2, Reinsch, 154,13-14).

30. *ἡ γυνὴ τοῦ βασιλέως*: Πρόκειται γιὰ τὴν δεύτερη σύζυγο τοῦ Δαβὶδ Κομνηνοῦ, τὴν Ἑλένη Καντακουζηνή, ἀπὸ τὴν ὁποία ἀπέκτησε τρεῖς γιοὺς καὶ δύο κόρες. Κ. Βαρζός, «Ἡ μοίρα τῶν τελευταίων Μεγάλων Κομνηνῶν τῆς Τραπεζούντας», *Βυζαντινὰ* 12 (1983) 273-276. D.M. Nicol, *Οἱ βυζαντινὲς δεσποσύνες. Δέκα πορτραῖτα, 1250-1500*, Ἀθήνα 1996, 199-207.

---

160. *Χαῖρε Ῥωμαίων ἀρχηγέ, χαίροις Ἑλλήνων ἄναξ,*
ὁ τὴν καταγηράσασαν ὡς κόρην με στολίζων
καὶ κρύπτων τὰς ῥυτίδας μου καὶ περιβάλλων φῦχος
καὶ τοῖς χρυσοῖς κατακοσμῶν ὡς ὄντως βασιλίδα.

Reinsch, «Byzantinisches Herrsecherlob für den türkischen Sultan», 200. Ἀλλὰ καὶ στὴν ἐπιστολή του πρὸς τὸν Βησσαρίωνα ἀποκαλεῖ ὁ Ἀμοιρούτζης τὸν Μωάμεθ Β' βασιλέα τῶν Ἑλλήνων καὶ τῶν Ρωμαίων: *Ὁ γὰρ τοίνυν μέγα δυνάμενος καὶ πλείστων καὶ μεγίστων ἐθνῶν ἄρχων, Ἑλλήνων τε καὶ Ῥωμαίων ἤδη βασιλεύς...* (Boissonade, *Anecdota Graeca*, V, 390,12-14).

31. *τὸν ἑαυτῆς γαμβρὸν τὸν Μαμίαν*: Ἡ αὐτοκράτειρα Ἑλένη Καντακουζηνὴ πιθανολογεῖται ὅτι κατέφυγε τὸν Ἰούλιο τοῦ 1461, πρὶν ἀπὸ τὴν ἄφιξη τοῦ τουρκικοῦ στόλου, στὴν Γεωργία. Ἐπανενώθηκε ὅμως ἀργότερα μὲ τὴν οἰκογένειά της στὴν Ἀδριανούπολη. Τὸ ὄνομα τῆς θυγατέρας της, συζύγου τοῦ γεωργιανοῦ ἡγεμόνα Μαμία, δὲν μᾶς ἔχει παραδοθεῖ. Βαρζός, «Ἡ μοίρα τῶν τελευταίων Μεγάλων Κομνηνῶν τῆς Τραπεζούντας», 275. Σαββίδης, *Οἱ Μεγάλοι Κομνηνοὶ τῆς Τραπεζούντας καὶ τοῦ Πόντου*, 139, 141-142.

39. *ἀζάπιδας*: *ἀζάπιδας τοὺς Τούρκων πεζοὺς οὕτω καλουμένους* (Χαλκοκονδύλης, ΙΙ, 5,1-2. Moravcsik, II, 56).

43. *τῆς τῶν Τζανίδων χώρας*: Ἀπὸ τὸ ὄνομα Τζάνοι, ἑνὸς ἐκχριστιανισμένου καυκασιανοῦ φύλου, ποὺ κατοικοῦσε ἀνατολικὰ καὶ δυτικὰ τῆς Τραπεζούντας μέχρι καὶ τὸν ποταμὸ Ἅλυ. Ἡ ἀριστοκρατικὴ οἰκογένεια τῶν Τζανιχιτῶν φαίνεται νὰ καταγόταν ἀπὸ τοὺς Τζάνους. Μητροπολίτου Τραπεζοῦντος Χρυσάνθου, *Ἡ Ἐκκλησία Τραπεζοῦντος*, 39. Σαββίδης, *Οἱ Μεγάλοι Κομνηνοὶ τῆς Τραπεζούντας καὶ τοῦ Πόντου*, 169.

47. *Τραπεζοῦς – ἑάλω*: Ἡ ἀκριβὴς ἡμερομηνία τῆς κατάληψης τῆς Τραπεζούντας δὲν μᾶς ἔχει παραδοθεῖ στὰ χρονογραφικὰ καὶ ἱστορικὰ κείμενα, ὁπότε ἡ χρονολόγηση τοῦ γεγονότος στὶς 15 Αὐγούστου 1461, ποὺ ἀπαντᾶ στὴν παλαιότερη βιβλιογραφία, θεωρεῖται αὐθαίρετη, ἐνῶ πιθανότερη εἶναι ἡ κατὰ ἕναν μήνα μετατόπισή της, στὰ μέσα τοῦ Σεπτεμβρίου τοῦ ἴδιου ἔτους. Schreiner, *Die byzantinischen Kleinchroniken*, 2. Teil, Historischer Kommentar, 499-500.

54. *σιλικταρίους*: ἀπὸ τὸ ἀραβικὸ silihdār, ὁπλοφόρος. Moravcsik, II, 276.

54. *σπαχογλάνους*: *σπαογλάνους ἤγουν ἀρχοντόπουλα*, *Αἱ τάξεις τῆς πόρτας τοῦ Ἀμηρᾶ*, [*Οὐγγροελληνικαὶ Μελέται* 27, Βουδαπέστη 1947], 6,7. Moravcsik, I, 470. II, 291.

56. *ἐς τὰ παιδικά*: Περὶ τῶν ἐρωτικῶν ἀπολαύσεων τοῦ Μωάμεθ Β΄, μὲ ἀφορμὴ τὶς λακωνικὲς ἐπισημάνσεις τοῦ Χαλκοκονδύλη, βλ. τὴν συζήτηση παραπάνω, σελ. 360-361.

57. *ἰανιτζαρίους*: *γενιτζαρίους*, Moravcsik, II, 110-111.

58. *τὴν μέντοι θυγατέρα τοῦ βασιλέως*: Ὑπονοεῖται ἡ δεύτερη κόρη τοῦ Δαβὶδ Κομνηνοῦ Ἄννα, τὴν ὁποία εἶχε προτείνει στὸν σουλτάνο γιὰ σύζυγο ὁ πατέρας της. Ὁ σουλτάνος δὲν τὴν παντρεύτηκε, ἀλλὰ τὴν ἔδωσε σύζυγο στὸν Ζαγανὸ πασά, ὁ ὁποῖος μὲ τὴν σειρά του τὴν χώρισε ἐπειδὴ ἀρνιόταν νὰ γίνει μωαμεθανή. Χαλκοκονδύλης, Χ, 275,1-7. *PLP* 12057. Βαρζός, «Ἡ μοίρα τῶν τελευταίων Μεγάλων Κομνηνῶν τῆς Τραπεζούντας», 273.

60-61. *ἔγγονον τοῦ πρότερον βασιλέως*: Πρόκειται γιὰ τὸν τρίτο γιὸ τοῦ Δαβὶδ Κομνηνοῦ Γεώργιο, ὅπως ἐξηγεῖ στὴν συνέχεια τὸ κείμενο, ὁ ὁποῖος ἂν καὶ ἔγινε μωαμεθανὸς εἶχε τὸ ἴδιο τραγικὸ τέλος μὲ τὸν πατέρα του καὶ τοὺς δύο ἀδελφούς του. Βλ. *PLP* 12093.

65. *ἡ τοῦ Χασάνη γυνή*: Θεοδώρα Κομνηνή, σύζυγος τοῦ Οὐζοὺν Χασάν, τοῦ ἡγεμόνα τῆς φυλῆς τῶν Ἀσπροπροβατάδων καὶ τῆς Μεσοποταμίας, θυγατέρα τοῦ Ἰωάννη Δ΄ Κομνηνοῦ, γνωστὴ καὶ ὡς Χατοῦν, δέσποινα τῆς Ταυρίδος. *PLP* 30736. Βαρζός, «Ἡ μοίρα τῶν τελευταίων Μεγάλων Κομνηνῶν τῆς Τραπεζούντας», 281-283.

66. *Ἀλέξιον τὸν ἐκ Μυτιλήνης*: Ὑπονοεῖται ὁ Ἀλέξιος Σκαντάριος Κομνηνός, ὁ γιὸς τοῦ Σκαντάριου Κομνηνοῦ καὶ ἐγγονὸς τοῦ Γατελούζου, Δωρίνου Παλαιολόγου. *PLP* 12085.

69. *Μακροῦ Χασάνη*: Ἡγεμόνας τῶν Τουρκομάνων τοῦ Λευκοῦ Προβάτου, μὲ τὸν ὁποῖο συμμάχησε ὁ Δαβὶδ Κομνηνός, προσφέροντας στὸν Οὐζοὺν Χασὰν τὴν ἀνεψιά του Θεοδώρα ὡς σύζυγο τὸ 1458. Βαρζός, «Ἡ μοίρα τῶν τελευταίων Μεγάλων Κομνηνῶν τῆς Τραπεζούντας», 281-283.

70. *ἐπὶ τρόπῳ τάχα ἀγαθῷ*: Δὲν εἶναι ἐντελῶς ξεκάθαρο ἂν στὸ σημεῖο αὐτὸ ἀμφισβητεῖται ἀπὸ τὸν Χαλκοκονδύλη ἡ δῆθεν (*τάχα*) ἀγαθὴ πρόθεση τοῦ Ἀμοιρούτζη. Ὁ συγγραφέας τῆς *Πολιτικῆς Ἱστορίας* γράφει πάντως ὅτι τὴν αἰτία τῆς θανάτωσης τῶν Μεγάλων Κομνηνῶν κανεὶς δὲν μπόρεσε νὰ μάθει: *τὸ δὲ αἴτιον οὐδεὶς μαθεῖν ἠδυνήθη, πλὴν ὑποψία ἦν* (38,17-18).

78-79. *ἀπαγαγὼν ἐς Βυζάντιον διεχρήσατο*: Λεπτομέρειες γιὰ τὴν κράτηση καὶ τὴν θανάτωση τοῦ Δαβὶδ Κομνηνοῦ, τῶν τριῶν γιῶν του καὶ τοῦ ἀνεψιοῦ του, ἀντλοῦμε ἀπὸ ἕνα σημείωμα τοῦ κώδικα *Lond. Med. Soc.* 52. Σύμφωνα μὲ τὸ κείμενο, ἡ σύλληψη καὶ ὁ ἐγκλεισμός τους στὴν Ἀδριανούπολη χρονολογεῖται στὶς 26 Μαρτίου τοῦ 1463, ἐνῶ ἡ θανάτωσή τους τὴν 1η Νοεμβρίου τῆς ἴδιας χρονιᾶς:

Κατὰ τὴν κς΄ τοῦ Μαρτίου μηνὸς τῆς ια΄ ἰνδικτιῶνος τοῦ ͵ϛποα΄, ἡμέρα Σαββάτου πικροτάτου ὥρα γ΄, ἐκρατήθη ἐν Ἀνδριανουπόλει ὁ ἅγιος μοὶ αὐθέντης καὶ βασιλεὺς Τραπεζοῦντος ὁ Μέγας Κομνηνὸς κῦρ Δαυὶδ σὺν τοῖς τρισὶν υἱοῖς τῷ τε κῦρ Βασιλείῳ καὶ κῦρ Μανουὴλ καὶ κῦρ Γεωργίῳ, τῷ καὶ ὕστερον χρηματίσαντι μουλσουμάνῳ διὰ τῶν ἀθλίων Καβαζίτων, γενομένων καὶ αὐτῶν Τούρκων, διὰ τὸ μὴ εὐπορεῖν αὐτοὺς κἂν τὸν ἐπιούσιον, ἅμα γενομένῳ καὶ τῷ ἀνεψιῷ τοῦ βασιλέως κῦρ Ἀλεξίῳ τῷ Σκανταρίῳ μουλσουμάνῳ, εἰ καὶ ὕστερον εἰς τὴν ὥραν τῆς ἀποτομῆς ὡμολόγησε χριστιανός, ἀποβαλὼν ἣν ἔλαβεν παρὰ τῶν Ἀγαρηνῶν πίστιν, διὰ μαρτύρων μουλσουμάνων τῶν φυλακτόρων.

Μετὰ δὲ μῆνας ... τοῦ κρατισμοῦ τοῦ ἐν Ἀδριανουπόλει τῶν αὐτῶν αὐθεντῶν, ἤνεγκαν τούτους ἐν Κωνσταντινουπόλει καὶ εἰσήνεγκαν αὐτοὺς καὶ τοὺς ε΄ εἰς τὴν φυλακὴν τοῦ Γούλου τὴν ἐν τῷ Στουδίῳ σύνεγγυς τῇ μονῇ. Καὶ μετὰ μήνας ... ἀπέτεμον τούτους τῷ ξίφει κατὰ τὴν α΄ τοῦ Νοεμβρίου ἡμέρα Σαββάτου νυκτός, ὥρα δ΄ τοῦ ͵ϛποβ΄ ἰνδικτιῶνος ια΄.[161]

161. Βαρζός, «Ἡ μοίρα τῶν τελευταίων Μεγάλων Κομνηνῶν τῆς Τραπεζούντας», 273-274. E. Gamillscheg, «Der Kopist des *Par. Gr.* 428 und das Ende der Grosskomnenen», *JÖB* 36 (1986) 297-300.

ΔΕΥΤΕΡΟ ΜΕΡΟΣ